« Οἱ δὲ (Ἕλληνες) τῶν κοινῶν ἐλπίδων ἐκπεσόντες, οἱ μὲν Μανιάται εἰς τὰ ἴδια σπήλαια, καὶ τοὺς δυσάντεις αὐτῶν αἰγίλωπας κατέφυγον, συνεπαγόμενοι πολλοὺς ἐκ τῶν ἔξωθεν· οἱ δὲ εἰς τὰς ἠπειρωτικὰς νήσους καὶ Κυθήραν ἐσώθησαν· οἱ δὲ ὡς πρόβατα, φεῦ μοι, σφαγῆς ἀπελείφθησαν. Οἱ γὰρ Ὀτμανοὶ ἐκ πάσης Ἀχαΐας καὶ Θετταλίας, συμπάσης Ἠπείρου καὶ τῆς ἐπέκεινα Ἰλλυρίδος ἀγεληδὸν συῤῥεύσαντες, μηδενὸς ἀνθισταμένου καὶ ἀντιβαίνοντος κατά τε τὸν Ἰσθμὸν καὶ τὴν παραλίαν ἑκατέρου τοῦ κόλπου, ὡς λύκοι αἱμοβόροι πολλῷ τῷ μέτρῳ ὑπερήλασαν τῶν Μανιατῶν τὴν ὠμότητα· οὐ γὰρ τοῖς μιαιφόνοις ἀπῆν ὅσα ποτὲ ἐφάνη χαλεπωτάτης ἀπηνείας καὶ ἀπανθρώπου γνώμης ἐπινοήματα, ἀλλὰ καὶ ὅσα οὐδέπω ἐν ἐφόδῳ ἐχθρικῇ χειρὸς καὶ γνώμης ὑπῆρξε τολμήματα προσεπενοεῖτο καὶ ἐξευρίσκετο, καὶ οὐδὲ κόρον εἶχε λωφήσων αἱμάτων τὸ βάρβαρον· ἐλύσσα δὲ καὶ χρημάτων καὶ τοῖς προκειμένοις μὴ ἐπαρκούμενον ἀνευρενᾶτο, τοὺς ἔχειν τι ὑπονοουμένους κατέκαιέ τε καὶ ὠβελίζετο ὡς μή τι λάθῃ κρυπτόμενον. Τοσαύτῃ γοῦν μανίᾳ τῶν ἀπανθρωποτάτων Τελχίνων καταπορθουμένης πάσης πόλεως καὶ χώρας καὶ ἁπλῶς οἰκήσεως τῶν ἐν Πελοποννήσῳ χριστιανῶν, οὐδὲ τῶν ὀρέων τὰ κρησφύγετα καὶ ἀπόκρημνα ἄντρα καὶ διασφάγας καὶ μυχοὺς γῆς ἀνευρενήτους παρῆκαν, ἀλλὰ πάντα λεηλατοῦντες καὶ ληϊζόμενοι, ὅτε ἐκ πάσης ἡλικίας καὶ τάξεως αἱμάτων πλειόνων ἀθώων τοῖς ῥείθροις τὴν γῆν ἔβαψαν, καὶ πάντα πλοῦτον φανερὸν καὶ ἀφανῆ ἔκ τε τῶν ἱερῶν καὶ τῶν ἁπλῶς οἴκων καὶ ἐξ ἑνὸς ἑκάστου συνήθροισαν, ἔσχατον ἠνδραποδίζοντο. Ἀλλ' ἐν οἷς φιλοχρηματοῦντες μᾶλλον ἐφιλανθρωπεύοντο οἱ βάρβαροι, ἐν τούτοις μᾶλλον οἱ δυστυχοῦντες ἐπωλοφύροντο, πατέρες τέκνων διαχωριζόμενοι, καὶ ἀνδρῶν τιμίων σώφρονες γυναῖκες ἀποσπώμεναι, ἀδελφοὶ τ' ἀδελφῶν στερούμενοι, καὶ νεογνὰ τέκνα τῶν μητρικῶν ὠλενῶν ἁρπαζόμενα, παρθένοι τε τρυφεραὶ τῶν θαλάμων ἐκπίπτουσαι, ὑπὸ χειρῶν βαρβάρων ἑλκόμεναι, συγγενεῖς συγγενῶν καὶ φίλοι φίλων καὶ οἰκείων οἰκεῖοι χωρὶς ἀπαγόμενοι καὶ καταδουλούμενοι· οὐ γὰρ ἐλύπει αὐτοὺς τὸ θανεῖν, ὡς τὸ ἐπ' ἀλλήλοις εἶναι καὶ παθεῖν τι τῆς εὐσεβείας ἀνάξιον, ὑπὲρ ἧς πάντα δεινὰ ἐκαρτέρησαν. Οὐδὲ γὰρ ἐν τοσούτοις μυρίοις θανοῦσι τῆς εὐσεβείας τις ἐκπέπτωκεν » (¹).

---

(¹) Πατριαρχικὴ Πεντηκονταετηρίς.— Ἀκριβῶς καὶ εἰς πλάτος ἀφηγεῖται ὁ Μα-